particula enim ciuitatis vnusquisque est: cura verò singularum particularum respicere nata est ad curam totius. Laudari possunt in hoc Lacedæmonij: nam plurimam circa pueros diligentiam faciunt, & quidem publicè. Quòd igitur lege prouidendum sit circa disciplinam iuuentutis, & hoc publicè faciendum, patet.

## CAPVT II.

Qvænam verò ista sit disciplina, & quomodo tradēda, latere nō debet. Nam nunc quidem in ambiguo est, neque eadem omnes censent iuuentutem addiscere debere, neque ad virtutem, neq. ad vitam optimam: neque conspicuum est, vtrum per intelligentiam magis deceat, vel per animi morem. Impedimentorū quoq. respectus considerationem disciplinæ cōturbat: cùm manifestum non sit, vtrum exercitatio nostra accommodanda sit ad ea quæ sunt vtilia ad vitam, vel ad ea quæ tendūt ad virtutem, vel ad ea quæ ad maiorem quēdam superfluúmque pertinent apparatum. hæc enim omnia patronos quosdam suscepere. De his quoque quę ad virtutem tendunt, nihil confessum existit, etenim virtutem non eandem omnes statim honorant: ex quo fit vt discordēt circa illius exercitationem. Quòd igitur ex vtilibus necessaria sint addiscenda, manifestum est: quòd autem non omnia, distinguentibus liberalia opera ab illiberalibus patebit, illa talia esse recipienda, quæ cùm vtilia sint, faciunt exercentem habentémque non vilis exercitij operatorem. Vile autem exercitium putandum & ars & disciplina, quæcunque corpus, aut animum, aut mentem liberi hominis, ad vsum & opera virtutis inutilem reddunt. Itaque & artes illæ quæ deterius disponunt corpus, & cuncta mercenaria exercitia, sordida nuncupamus, mentem enim occupatam & vilem reddunt. Sunt etiam quædam ex liberalibus sciētiis, quas vsque ad aliquid discere honestum sit, penitus verò sese illis tradere, ac ad extremum vsque prosequi velle nocumentis illis, quæ suprà diximus, obnoxios facit. Sed refert plurimum cuius gratia quis agat, vel discat: nam si gratia sui vel amicorum, vel propter virtutem, nō est illiberale: qui verò idipsum agit propter alios, sæpe vtique videbitur illiberaliter ac sordidè agere. Disciplinæ igitur illæ, de quibus diximus, ad vtranque partem se habent.

A μόριον γὰρ ἕκαστος τῆς πόλεως. ἡ δ' ἐπιμέλεια πέφυκεν ἑκάστου μορίου βλέπειν πρὸς τὴν τοῦ ὅλου ἐπιμέλειαν. ἐπαινέσειε δ' ἄν τις καὶ τοῦτο Λακεδαιμονίοις· καὶ γὰρ πλείστην ποιοῦνται σπουδὴν περὶ τοὺς παῖδας, καὶ κοινῇ ταύτην. ὅτι μὲν οὖν νομοθετητέον περὶ παιδείας, καὶ ταύτην κοινὴν ποιητέον, φανερόν.

## Κεφάλαιον β.

B Τίς δ' ἐστὶν ἡ παιδεία, καὶ πῶς χρὴ παιδεύεσθαι, δεῖ μὴ λανθάνειν. νῦν γὰρ ἀμφισβητεῖται περὶ τῶν ἔργων· οὐ γὰρ ταὐτὰ πάντες ὑπολαμβάνουσι δεῖν μανθάνειν τοὺς νέους, οὔτε πρὸς ἀρετὴν, οὔτε πρὸς τὸν βίον τὸν ἄριστον· οὐδὲ φανερὸν πότερον πρὸς τὴν διάνοιαν πρέπει μᾶλλον, ἢ πρὸς τὸ τῆς ψυχῆς ἦθος· ἔκ τε τῆς ἐμποδὼν παιδείας ταραχώ-
C δης ἡ σκέψις· καὶ δῆλον οὐδὲν, πότερον ἀσκεῖν δεῖ τὰ χρήσιμα πρὸς τὸν βίον, ἢ τὰ τείνοντα πρὸς ἀρετὴν, ἢ τὰ περιττά· πάντα γὰρ εἴληφε ταῦτα κριτάς τινας· περί τε τῶν πρὸς ἀρετὴν, οὐθέν ἐστιν ὁμολογούμενον. καὶ γὰρ τὴν ἀρετὴν οὐ τὴν αὐτὴν εὐθὺς πάντες τιμῶσιν. ὥστ' εὐλόγως διαφέρονται καὶ πρὸς τὴν ἄσκησιν αὐτῆς. ὅτι μὲν οὖν τὰ ἀναγκαῖα δεῖ διδάσκεσθαι
D τῶν χρησίμων, οὐκ ἄδηλον· ὅτι δὲ οὐ πάντα διῃρημένων τῶν τε ἐλευθέρων ἔργων καὶ τῶν ἀνελευθέρων, φανερὸν, ὅτι τῶν τοιούτων δεῖ μετέχειν, ὅσα τῶν χρησίμων ποιήσει τὸν μετέχοντα μὴ βάναυσον· βάναυσον δ' ἔργον εἶναι δεῖ τοῦτο νομίζειν, καὶ τέχνην ταύτην καὶ μάθησιν, ὅσαι πρὸς τὰς χρήσεις καὶ τὰς πράξεις τὰς τῆς ἀρετῆς, ἄχρηστον ἀπεργάζονται
E τὸ σῶμα τῶν ἐλευθέρων, ἢ τὴν ψυχὴν, ἢ τὴν διάνοιαν. διὸ τάς τε τοιαύτας τέχνας, ὅσαι τὸ σῶμα παρασκευάζουσι χεῖρον διακεῖσθαι, βαναύσους καλοῦμεν, καὶ τὰς μισθαρνικὰς ἐργασίας· ἄσχολον γὰρ ποιοῦσι τὴν διάνοιαν, καὶ ταπεινήν. ἔστι δὲ καὶ τῶν ἐλευθερίων ἐπιστημῶν μέχρι μέν τινος ἐνίων μετέχειν, οὐκ ἀνελεύθερον· προσεδρεύειν δὲ λίαν πρὸς τὸ ἐντελὲς, ἔνοχον ταῖς εἰρημέναις βλάβαις. ἔχει
F δὲ πολλὴν διαφορὰν καὶ τὸ, τίνος χάριν πράττει τις ἢ μανθάνει. αὐτοῦ μὲν γὰρ χάριν, ἢ φίλων, ἢ δι' ἀρετὴν, οὐκ ἀνελεύθερον· ὁ δὲ αὐτὸ τοῦτο πράττων δι' ἄλλους, πολλάκις θητικὸν καὶ δουλικὸν δόξειεν ἂν πράττειν. αἱ μὲν οὖν καταβεβλημέναι νῦν μαθήσεις, καθάπερ ἐλέχθη πρότερον, ἐπαμφοτερίζουσιν.